Βυζάντιον. Οἰνόφλυγες.

Κουρεῖα. Καπηλεῖα



« Ἐν Βυζαντίῳ δὲ ζημίας κειμένης τῷ ἔχοντι [κυρεῖ] ξυρὸν οὐδὲν ἧττον πάντες χρῶνται αὐτῷ » καὶ ταῦτα καὶ ὁ θαυμάσιος εἴρηκε Χρύσιππος. » — Ἀθην. δειπν. 15. 565. c.

« Φύλαρχος δ' ἐν ἕκτῃ (FHG I 336) Βυζαντίους οἰνόφλυγας ὄντας ἐν τοῖς καπηλείοις οἰκεῖν, ἐκμισθώσαντας τοῖς ξένοις τὰς αὑτῶν θαλάμους μετὰ τῶν γυναικῶν τοῖς ξένοις, πολεμίας σάλπιγγος οὐδὲ ἐν ὕπνοις ἀνεχομένους ἀκοῦσαι. διὸ καὶ πολεμουμένων ποτὲ αὐτῶν καὶ οὐ προσκαρτερούντων τοῖς τείχεσι Λεωνίδης ὁ στρατηγὸς ἐκέλευσε τὰ καπηλεῖα ἐπὶ τῶν τειχῶν σκηνοπηγεῖν, καὶ μόλις ποτὲ ἐπαύσαντο λιποτακτοῦντες, ὥς φησι Δάμων ἐν τῷ περὶ Βυζαντίου (FHG IV 377). Μένανδρος δ' ἐν Ἀρρηφόρῳ ἢ Αὐλητρίδι (IV 88 M.) — 10. 442. c.

πάντας μεθύσους τοὺς ἐμπόρους
ποιεῖ τὸ Βυζάντιον. ὅλην ἐπίνομεν
τὴν νύκτα διὰ σὲ καὶ σφόδρ' ἄκρατον, μοι δοκῶ.
ἀνίσταμαι γοῦν τέτταρας κεφαλὰς ἔχων. »

« Περὶ δὲ Βυζαντίων καὶ Καλχηδονίων ὁ αὐτός φησι Θεόπομπος τάδε « ἦσαν δὲ οἱ Βυζάντιοι καὶ διὰ τὸ δημοκρατεῖσθαι πολὺν ἤδη χρόνον καὶ τὴν πόλιν ἐπ' ἐμπορίου κειμένην ἔχειν καὶ τὸν δῆμον ἅπαντα περὶ τὴν ἀγορὰν — ΙΒ. 526 c.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Βυζάντιοι συνάξεις.

καὶ τὸν λιμένα διατρίβειν ἀκόλαστοι καὶ συνουσιάζειν καὶ πίνειν εἰθισμένοι ἐπὶ τῶν καπηλείων. Καλχηδόνιοι δὲ πρὶν μὲν μετασχεῖν αὐτοῖς τῆς πολιτείας ἅπαντες ἐν ἐπιτηδεύμασι καὶ βίῳ βελτίονι διετέλουν ὄντες, ἐπεὶ δὲ τῆς δημοκρατίας τῶν Βυζαντίων ἐγεύσαντο διεφθάρησαν εἰς τρυφήν. . . . καὶ τὸν καθ' ἡμέραν βίον ἐκ σωφρονεστάτων καὶ μετριωτάτων φιλοπόται καὶ πολυτελεῖς γενόμενοι. "

Δ. 132 a-c. " Δίφιλος δ' ἐν Ἀπολιπούσῃ μάγειρόν τινα παράγων ποιεῖ τάδε λέγοντα.

πόσοι τὸ πλῆθός εἰσιν οἱ κεκλημένοι
εἰς τοὺς γάμους, βέλτιστε, καὶ πότερ' Ἀττικοὶ
ἅπαντες ἢ κἀκ τοὐμπορίου τινές; Β. τί δαὶ
τοῦτ' ἐστὶ πρὸς σὲ τὸν μάγειρον; Α. τῆς τέχνης
ἡγεμονία τίς ἐστιν αὐτή σοι, πάτερ,
τὸ τῶν ἐδομένων τὰ στόματα προειδέναι.
οἷον Ῥοδίους κέκληκας· εἰσιοῦσι δὸς
εὐθὺς ἀπὸ θερμοῦ τὴν μεγάλην αὐτοῖς σπάσαι
ἀποζέσας σίλουρον ἢ λεβίαν, ἐφ' ᾧ
χαριεῖ μᾶλλον ἢ μυρίνην προσεγχέας.
Β. ἀστεῖον ὁ σιλουρισμός. Α. ἂν Βυζαντίους,
ἀψινθίῳ σφην δεῦσον ὅσα γ' ἂν παραθῇς
κάθαλα ποιήσας πάντα κἀσκοροδισμένα·
διὰ γὰρ τὸ πλῆθος τῶν παρ' αὐτοῖς ἰχθύων
πάντες βλιχανώδεις εἰσὶ καὶ μεστοὶ λάπης. "

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ